Worksheet 2. *Isolate the actions and clauses.*

1 παῦλος δέσμιος χριστοῦ ἰησοῦ καὶ τιμόθεος ὁ ἀδελφὸς φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν 2 καὶ
ἀπφίᾳ τῇ ἀδελφῇ καὶ ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ / 3 χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ / 4 εὐχαριστῶ τῷ θεῷ μου πάντοτε / μνείαν σου ποιούμενος
ἐπὶ τῶν προσευχῶν μου / 5 ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν / ἣν ἔχεις πρὸς τὸν κύριον ἰησοῦν καὶ εἰς
πάντας τοὺς ἁγίους / 6 ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν

ὑμῖν εἰς χριστόν / 7 χαρὰν γὰρ πολλὴν ἔσχον καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου / ὅτι τὰ σπλάγχνα τῶν ἁγίων

ἀναπέπαυται διὰ σοῦ ἀδελφέ / 8 διό πολλὴν ἐν χριστῷ παρρησίαν ἔχων / ἐπιτάσσειν σοι τὸ ἀνῆκον / 9 διὰ τὴν

ἀγάπην μᾶλλον παρακαλῶ / τοιοῦτος ὢν ὡς παῦλος πρεσβύτης / νυνὶ δὲ καὶ δέσμιος χριστοῦ ἰησοῦ / 10 παρακαλῶ

σε περὶ τοῦ ἐμοῦ τέκνου / ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς ὀνήσιμον / 11 τόν ποτέ σοι ἄχρηστον / νυνὶ δὲ σοὶ καὶ ἐμοὶ

εὔχρηστον / 12 ὃν ἀνέπεμψά σοι αὐτόν / τοῦτ᾽ ἔστιν τὰ ἐμὰ σπλάγχνα / 13 ὃν ἐγὼ ἐβουλόμην / πρὸς ἐμαυτὸν

κατέχειν / ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου / 14 χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα /

ποιῆσαι / ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ / ἀλλὰ κατὰ ἑκούσιον / 15 τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς

ὥραν / ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς / 16 οὐκέτι ὡς δοῦλον / ἀλλὰ ὑπὲρ δοῦλον ἀδελφὸν ἀγαπητόν / μάλιστα ἐμοί

πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ / 17 εἰ οὖν με ἔχεις κοινωνόν / προσλαβοῦ αὐτὸν ὡς ἐμέ / 18 εἰ δέ τι

ἠδίκησέν σε / ἢ ὀφείλει / τοῦτο ἐμοὶ ἐλλόγα / 19 ἐγὼ παῦλος ἔγραψα τῇ ἐμῇ χειρί / ἐγὼ ἀποτίσω / ἵνα μὴ λέγω

σοι / ὅτι καὶ σεαυτόν μοι προσοφείλεις / 20 ναί ἀδελφέ ἐγώ σου ὀναίμην ἐν κυρίῳ / ἀνάπαυσόν μου τὰ σπλάγχνα

ἐν χριστῷ / 21 πεποιθὼς τῇ ὑπακοῇ σου / ἔγραψά σοι / εἰδὼς / ὅτι καὶ ὑπὲρ ἃ λέγω / ποιήσεις / 22 ἅμα δὲ καὶ

ἑτοίμαζέ μοι ξενίαν / ἐλπίζω γὰρ / ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν / 23 ἀσπάζεταί σε ἐπαφρᾶς ὁ

συναιχμάλωτός μου ἐν χριστῷ ἰησοῦ 24 μᾶρκος ἀρίσταρχος δημᾶς λουκᾶς οἱ συνεργοί μου / 25 ἡ χάρις τοῦ κυρίου

ἰησοῦ χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν /